ſpeciéſque amicitiæ eſſe plures: ac primo quidem & propriè cum quæ bonorum eſt hominum, quatenus ſunt boni: reliqua verò per ſimilitudinem: quatenus enim bonum quid, & ſimile inter ipſos eſt, eatenus ſunt amici iucundum ſiquidem voluptuoſis hominibus bonum quid eſt. ſed non admodum hæ coniunguntur: neque iidem & ob vtilitatem & ob iucunditatem fiunt amici: quæ enim ex accidenti ſunt, non admodum copulãtur.

CAPVT VI.

CVm verò in has ſpecies amicitia diſtributa ſit: praui ob vtilitatem vel voluptatem, qua in re ſunt ſimiles: boni ob ſeipſos ſunt amici. in eo enim quòd boni ſunt, ſeſe mutuo amant. atque hi abſolutè amici. illi ex accidenti ſunt, & quia cum his habent ſimilitudinem. Quemadmodũ autẽ in virtutibus alij ex habitu, alij ex operatione boni dicuntur: ita quoque in amicitia eſt. nam qui in conuictu degunt, mutua conſuetudine oblectantur, & bona ſibi mutuo ſuppeditant: qui verò dormiunt vel loci diuiſi ſunt, non operantur illi quidem: ſed ita tamen affecti ſunt, vt amicè operentur. Nam loca non amicitiam abſolutè, ſed operationem diſſoluunt. Siq́ue diuturna abſentia fuerit, amicitiæ quoque videtur obliuionem inducere. vnde dictum eſt: multas iam amicitias diſſoluit inaffabilitas. Senes autem aut auſteri eſſe ad amicitiam idonei non videntur: quippe, cum parum voluptatis in ipſis inſit: cum moleſto autem, aut non ſuaui verſari poſſit nemo. natura enim quod moleſtum eſt, fugere: quod iucundum, appetere videtur. Sed qui ſe mutuo admittunt, non tamen ſimul viuunt: beneuolis potius, quàm amicis ſimiles ſunt. nam nihil eſt ita amicorum, vt ſimul viuere. præſidium enim indigi appetunt: ſimul autem diem traducere etiam beati: quippe cum ſolitariis his eſſe minimè cõueniat: ſimul verò degere non liceat, niſi iucundi ſint, iiſdémque oblectentur. id quod habere ſodalitia amicitia videtur.

CAPVT VII.

AC maximè quidem amicitia, ſicut ſæpius iam diximus, bonorum eſt. quod enim abſolutè bonum, ac iucundum eſt, amabile eſt, atque eligibile: vnicuique verò, quod vnicuique eſt tale. bonus autem bono ab vtraque hæc. Cæterum dilectio affectui, amicitia habitui ſimilis eſt. Dile

A ἴσως μὲν δεῖ λέγειν καὶ ἡμᾶς φίλους τοὺς τοιούτους. εἴδη δὲ καὶ τῆς φιλίας πλείω, καὶ πρώτως μὲν καὶ κυρίως τὴν τῶν ἀγαθῶν, ᾗ ἀγαθοί. τὰς δὲ λοιπὰς, καθ' ὁμοιότητα. ᾗ γὰρ ἀγαθόν τι καὶ ὅμοιόν τι, ταύτῃ φίλοι· καὶ γὰρ τὸ ἡδὺ, ἀγαθόν τι τοῖς φιληδέσιν. οὐ πάνυ δὲ αὗται συνάπτουσιν, οὐδὲ γίνονται οἱ αὐτοὶ φίλοι διὰ τὸ χρήσιμον καὶ ἡδύ· οὐ γὰρ πάνυ συνδυάζεται τὰ κατὰ συμβεβηκός.

B

Κεφάλαιον ϛ.

ΕΙ'ς ταῦτα δὲ τὰ εἴδη τῆς φιλίας νενεμημένης, οἱ μὲν φαῦλοι ἔσονται φίλοι δι' ἡδονὴν ἢ τὸ χρήσιμον, ταύτῃ ὅμοιοι ὄντες· οἱ δ' ἀγαθοὶ, δι' αὑτοὺς φίλοι· ᾗ γὰρ ἀγαθοί. οὗτοι μὲν οὖν ἁπλῶς φίλοι· ἐκεῖνοι δὲ κατὰ συμβεβηκὸς, καὶ τῷ ὡμοιῶσθαι τούτοις. Ὥσπερ δὲ ἐπὶ τῶν ἀρετῶν, οἱ μὲν, καθ' ἕξιν· οἱ δὲ κατ' ἐνέργειαν ἀγαθοὶ λέγονται, οὕτω

C

δὴ καὶ ἐπὶ τῆς φιλίας· οἱ μὲν γὰρ συζῶντες, χαίρουσιν ἀλλήλοις, καὶ πορίζουσι τἀγαθά· οἱ δὲ καθεύδοντες, ἢ κεχωρισμένοι τοῖς τόποις, οὐκ ἐνεργοῦσι μὲν, οὕτω δ' ἔχουσιν, ὥστε ἐνεργεῖν φιλικῶς· οἱ γὰρ τόποι οὐ διαλύουσι τὴν φιλίαν ἁπλῶς, ἀλλὰ τὴν ἐνέργειαν. ἐὰν δὲ χρόνιος ἡ ἀπουσία γίνηται, καὶ τῆς φιλίας δοκεῖ λήθην ποιεῖν· ὅθεν εἴρηται,

D

Πολλὰς δὴ φιλίας ἀπροσηγορία διέλυσεν.

οὐ φαίνονται δ' οὔθ' οἱ πρεσβῦται, οὔθ' οἱ στρυφνοὶ, φιλικοὶ εἶναι· βραχὺ γὰρ ἐν αὐτοῖς τὸ τῆς ἡδονῆς· οὐδεὶς δὲ δύναται συνημερεύειν τῷ λυπηρῷ, οὐδὲ τῷ μὴ ἡδεῖ· μάλιστα γὰρ ἡ φύσις φαίνεται, τὸ μὲν λυπηρὸν φεύγειν, ἐφίεσθαι δὲ τοῦ ἡδέος. οἱ δ' ἀποδεχόμενοι ἀλλήλους, μὴ συζῶντες δὲ, εὔνοις ἐοίκασι μᾶλλον ἢ φί-

E

λοις. οὐδὲν γὰρ οὕτως ἐστὶ φίλων, ὡς τὸ συζῆν· ὠφελείας μὲν γὰρ οἱ ἐνδεεῖς ὀρέγονται· συνημερεύειν δὲ καὶ οἱ μακάριοι· μονώταις μὲν γὰρ εἶναι τούτοις ἥκιστα προσήκει· συνδιάγειν δὲ μετ' ἀλλήλων οὐκ ἔστι, μὴ ἡδεῖς ὄντας, μηδὲ χαίροντας τοῖς αὐτοῖς, ὅπερ ἡ ἑταιρικὴ δοκεῖ ἔχειν.

Κεφάλαιον ζ.

F

ΜΑ'λιστα μὲν οὖν ἐστι φιλία, ἡ τῶν ἀγαθῶν, καθάπερ πολλάκις εἴρηται· δοκεῖ γὰρ, φιλητὸν μὲν καὶ αἱρετὸν τὸ ἁπλῶς ἀγαθὸν ἢ ἡδύ· ἑκάστῳ δὲ τὸ αὐτῷ τοιοῦτον· ὁ δ' ἀγαθὸς, τῷ ἀγαθῷ. δι' ἄμφω ταῦτα. ἔοικε δ' ἡ μὲν φίλησις, πάθει· ἡ δὲ φιλία, ἕξει·

ἡ γὰρ